RosDok Rostocker Dokumentenserver
Dieses Werk wurde Ihnen durch die Universitätsbibliothek Rostock zum Download bereitgestellt.
Für Fragen und Hinweise wenden Sie sich bitte an: digibib.ub@uni-rostock.de

Plato

# TIMAI || T LOKR. || PERI PSYCHAS KOSM || KAI PHYSIOS.||

Rostock: Möllemann, Stephan, 1569

**http://purl.uni-rostock.de/rosdok/ppn1041859368**

Druck Freier Zugang PUBLIC DOMAIN

I * A * D * M

M D LXX

Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de
/rosdok/ppn1041859368/phys_0001

XXI. 13. B 91

Cc 9871.

Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de/rosdok/ppn1041859368/phys_0002

2482

Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de
/rosdok/ppn1041859368/phys_0004

[Plato:]

# ΤΙΜΑΙΩ

ΤΩ ΛΟΚΡΩ.

ΠΕΡΙ ΨΥΧΑΣ ΚΟΣΜΩ

ΚΑΙ ΦΥΣΙΟΣ.

ROSTOCHII

*Stephanus Mylander excudebat.*

CIↃ. IↃ. LXIX.

Universitäts Bibliothek Rostock

http://purl.uni-rostock.de/rosdok/ppn1041859368/phys_0005

Ex
Bibliotheca
Academiae
Rostochiensis

Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de
/rosdok/ppn1041859368/phys_0006

# ANDREÆ MYLIO V. CL.

S. D.

IOAN. CASELIVS.

TAMDIV EQVIDEM Animi pendeo, dum cogito quam diligentißime possum, non quid ad te scribam, sed quid hoc loco potißimum scribam, quod & tu libenter legas, & cum me deceat, tum ipse quoq; præclare possim persequi. Hic igitur plurimarum rerum mihi in mentem uenit: à quarum alia aliud me facile retraxit. Alterutrum uero mihi horum fiebat reliquum, ut aut de animi tui dotibus non sine utriusq; nostrum uoluptate agerem; siquidem hoc, & citra adulationem, atque adeo honeste, neque sine exemplo optimorum facerem: aut tibi pro beneficijs, quibus partim ipse me ornasti, partim ornandum censuisti,

gratias agerem. Cum autem illud maxime arduum esse intellexi, atque adeo eiusmodi, ut plane animi tui imaginem, ingenij mei penicillo describere aut nunquam posse, aut certe tam breui tempore minime consecuturus, mihi uiderer: tum alterum non multo facilius; sed tamen officij cuiusdam multo maxime necessarij, quod sine scelere, ullo loco, à me præteriri minime posset. Ego uero ab ultimo tempore, quo te primum uidi: (tam uetustæ enim tuæ sunt in me collatæ Gratiæ:) ipse tua in me merita passim gentium apud optimos quosque pleno ore numquam non celebraui: idq; non sine prædicatione eximiæ uirtutis tuæ, & reconditissimarum litterarum, atque eloquentiæ disertissimæ. Plurimum autem præterea mihi causæ est; ut ingenij aliquo mei accuratius elaborato monumento idem quoque faciam, quod ante uerbis apud plurimos; apud nonnullos aliquando, apud te uero creberrime, litteris fecissem. Hac enim uia non solum me tibi probare quam gratissimum anxie cupio: uerum etiam, quoniam aliam fortuna fortasse mihi

mihi negauit, aliquid persoluam gratiæ. Loquor enim nunc de hominum beneficentißimorum sententia, qui & bene de bonis merentur, non ut maiora ipsi reportent commoda, sed ut uitæ mortalium adiumento sint; & sibi satisfieri animo τὴν εὖ παθόντην facilime patiuntur: quem tamen testentur nonnulla siue officia, siue obsequia: denique etiam, non tantum in ore nata, oratio. Ego uero etsi scio & fateor, nullo umquam tempore me assecuturum magnitudinem tuorum in me meritorum: tamen conabor, uti debeo, ut alijs ex me constet, & de bonitate naturæ tuæ, si ipsa ad omnium aures nondum permanasset, & de animo erga benemeritos meo gratißimo. Hoc non penitus non facere in præsentia potui: &, quod facturus in posterum essem, policeri uolui: & quod ante tibi ostendissem, præstare. Cum enim intellexissem, uidere te cupere Timæi, quem domi haberem, libellum, quem paucos etiam in Germania uidisse arbitraremur: dedi typis exprimendum typographo. Editum ad te mitto: idq; non cunctatus fui facere; cum quod

quantum eum legere desiderares, etiam epistola me docuisti, & non obscure ipsum flagitasti; tum quod ante ad uirum summum Marcellum Ceruinum à Nogarola missus fuit. Cum enim minime indignus fuerit Timæus Ceruino: Mylium quoq; Timæo dignissimum esse arbitrabimur. Excipe igitur, siccum plane & eruditum hospitem domo tua, delicatisq; ipsius epulis animum tuum pasce, & si qua ipsarum satietas est, satia: simul etiam patere, ut qui mea opera tuus sit, tuo beneficio cum pluribus nostri ordinis, nostriq; cœli hominibus communicetur. Vale, & V. CL. Henrico Husano salutem, qua me ab ipso impertiuisti, non grauate renuncia. Quem quod æque atq; te amantem mei, studiosumq; & commodorum meorum & dignitatis habeo; lætor equidem meo nomine plurimum: multo autem magis publico lætor, quod in omnibus rebus, sensibus estis iunctissimis, honestissimeq; in utilitatem publicam conspiratis. Quod cui tandem omnium, qui à cultu ciuilis uitæ non penitus abhorreat, uoluptatem non pariat singularem? τοῦ γὰρ οἱ-

μαι,

μαι, ἔχει τὸ τοῦ ποιητοῦ, ὥσπερ καὶ πλά-
τωνι τοῦ τῆν σοφωτάτην ἀρχηγῷ ἔδοξεν:
ὅτι, οὐ χρυσὸς ἀγλαὸς, σπανιώτατος
ἔνθα τῆν δυσελπίστου βίου: οὐδ' ἀδά-
μας· οὐδ' ἀργύρου κλίναι, πρὸς ἀνθρώ-
πων δοκιμαζόμενα, ἀστράπτει πρὸς ὄψεις·
οὐδὲ γαίας εὐρυπέδου, γόνιμοι, βρίθον-
τοι, αὐτάρκεις γῦαι: ὡς ἀγαθῶν ἀνδρῶν
ὁμοφράδμων νόησις. *Agite igitur hoc,*
*in quo plane estis occupati, perpetuo:*
*utq; agatis, quam optime & diu-*
*tißime ualete.* Rostochio.
Pridie Non. Septembr.
*Anno*

M. D. LXIX.

# ΤΙΜΑΙΩ

## ΤΩ ΛΟΚΡΩ.

### ΠΕΡΙ ΨΥΧΑΣ ΚΟΣΜΩ ΚΑΙ ΦΥΣΙΟΣ.

Τιμαιος ὁ λοκρὸς τάδε ἔφα: δύο αἰτίας εἶμεν τῶν συμπάντων, νόον μὲν τῶν κατὰ λόγον γιγνομένων· ἀνάγκαν δὲ τῶν βίᾳ καττὰς δυνάμεις τῶν σωμάτων. τουτέων δὲ τὸν μὲν τᾶς τἀγαθῶ φύσιος εἶμεν, θεόντε ὀνυμαίνεσθαι, ἀρχάντε τῶν ἀρίστων· τάδ' ἑπόμενά τε καὶ συναίτια εἰς ἀνάγκαν ἀνάγεσθαι. Τὰ δὲ ξύμπαντα ἰδέαν, ὕλαν, αἰσθητόν τε, οἷον ἔκγονον τουτέων. Καὶ τὸ μὲν εἶμεν ἀγενάτον τε, καὶ ἀκίνατον καὶ μένον καὶ τᾶς ταὐτῶ φύσιος νοατόν τε καὶ πράδειγμα τῶν γενομένων, ὁπόσα γὰρ μεταβολᾷ γὰρ τί. Τοιοῦτον γάρτι τὰν ἰδέαν λέγεσθαι καὶ νοεῖσθαι.

εἶσθαι. Τάνδ' ὕλαν ἐκμαγεῖον καὶ μη-
τέρα τιθανάντε καὶ γεννατικὰν εἶμεν
τᾶς τρίτας οὐσίας. δεξαμένᾳ γὰρ τὰ
ὁμοιώματα εἰς ἑαυτὰν, καὶ οἷον ἀναξαμέ-
ναν ἀποτελεῖν πάντα τὰ γεννάματα.
ταύταν δὲ τὰν ὕλαν ἀΐδιον μὲν ἔφα,
οὐ μὰν ἀκίνατον, ἄμορφον δὲ καθ' ἑαυτὰν
καὶ ἀσχημάτιστον, δεχομένᾳ δὲ πᾶσαν
μορφὰν, τὰν δὲ περὶ τὰ σώματα μεριστὰν
εἶμεν καὶ τᾶς θατέρω φύσιος. περιαγο-
ρεύοντι δὲ τὰν ὕλαν τόπον καὶ χώραν.
δύο ὦν αἱ δὲ ἀρχαὶ ἐντὶ, ἂν τὸ μὲν εἶ-
δος λόγον ἔχει ἄρρενος καὶ πατρὸς, ἁδ'
ὕλα θήλεός τε καὶ ματέρος, τρίτα δὲ εἶ-
ναι τὰ ἐκ οὐτέων ἔκγονα. τρία δὲ ὄν-
τα, τρισὶ γνωρίζεσθαι, τὰν μὲν ἰδέαν νόῳ
κατ' ἐπιστήμαν, τὰν δὲ ὕλαν λογισμῷ νό-
θῳ, τοῦ μήπω κατ' εὐθυωρίαν νοεῖσθαι,
ἀλλὰ κατ' ἀναλογίαν. τάδ' ἀπογεννά-
ματα αἰσθήσει καὶ δόξᾳ. Πρὶν ὦν οὐ-
ρανὸν γενέσθαι λόγῳ, ἤστην ἰδέα, καὶ ὕλα

καὶ ὁ θεὸς δημιουργὸς τῶ βελτίονος. ἐπεὶ δὲ τὸ πρεσβύτερον κάῤῥον ἐστὶ τῶ νεωτέρω καὶ τὸ τεταγμένον πρὸ τῶ ἀτάκτω, ἀγαθὸς ὢν ὁ θεὸς ὁρῶν τὰν ὕλαν δεχομένην τὰν ἰδέαν, καὶ ἀλλοιουμένην παντοίως μὲν, ἀτάκτως δὲ, ἐδεῖτο εἰς τάξιν αὐτὰν ἄγειν, καὶ ἐξ ἀορίστων μεταβολᾶν εἰς ὡρισμένην καταστᾶσαι, ἵν' ὁμολόγοι ταὶ διακρίσεις τῶν σωμάτων γένοιντο, καὶ μὴ κατ' αὐτόματον τροπὰς δέχοιντο. ἐποίησεν ὦν τὸν κόσμον ἐξ ἁπάσας τᾶς ὕλας ὅρον αὐτὸν κατεσκευάξας τᾶς τῶν ὄντων φύσιος, διὰ τὸ πάντα ἄλλα ἐν αὐτῷ περιέχειν, ἕνα μονογενῆ τέλειον ἔμψυχόν τε καὶ λογικόν. Κρέσσονα γὰρ τάδε ἀψύχω καὶ ἀλόγω ἐστίν. Καὶ σφαιροειδὲς σῶμα: τελειότερον γὰρ τῶν ἄλλων σχημάτων ἦν οὖσαν. δηλούμενος ὦν ἄριστον γένναμα ποιεῖν, οὖσαν ἐποίει θεὸν γενναῦν, οὐ πόκα φθαρησόμενον ὑπ' ἄλλω αἰτίω, ἔξω τῶ αὐτὸν συντεταγμένω

θεῶ,

θεῶ, εἰ πόκα δήλεω αὐτὸν καταλύειν. ἀλλ' οὐ γὰρ τἀγαθῶ ἐστὶν ὁρμᾶν ἐπὶ φθορὰν γενναμάτων καλλίστω. διαμένει ἄρα τοίοσδε ὢν ἄφθαρτος καὶ ἀνώλεθρος καὶ μακάριος. κράτιστος δ' ἐστὶ γενναῦ, ἐπεὶ ὑπὸ τῶ κρατίστω αἰτίω ἐγένεω, ἀφορῶντος οὐκ εἰς χειρόκματα παραδείγματα, ἀλλ' εἰς τὰν ἰδέαν καὶ εἰς τὰν νοατὰν οὐσίαν, πόθ' ἅνπερ τὸ γεννώμενον ἀπακριβωθὲν καλλιστόν τε καὶ ἀπρεγχείρητον γίγνεται. τέλειος δὲ ἀεὶ κατὰ τὰ αἰσθητά ἐστιν, ὅτι καὶ τὸ πράδειγμα τῆνο αὐτοῦ περιέχον πάντα τὰ νοατὰ ζῶα ἐν αὐτῷ, οὐδὲν ἐκτὸς ἀπέλιπεν ἄλλο, ὅρος ὢν νοατὴν παντελὴς, ὡς ὅδε κόσμος αἰσθητῦ. Στερεὸς δὲ ὢν ἁπτός τε καὶ ὁρατὸς γᾶς μεμόρακται πυρός τε καὶ τῦ μεταξὺ ἀέρος καὶ ὕδατος. ἐκ παντελέων γὰρ συνέστακε σωμάτην, τάπερ ὅλα ἐν αὐτῷ ἐντί, ὡς μήποκα μέρος ἀπολειφθῆμεν ἐκτὸς αὐτῶ, ἵνα ἦ αὐταρκέστατον τὸ τῶ παντὸς σῶμα ἀκήρατον

ρατον τῶν ἐκτὸς κηρῶν. οὐ γὰρ ἦν δίχα τουτέων
ἄλλα καὶ τῶν ἐκτὸς. τὰ γὰρ καττὰν ἀρίσταν
ἀναλογίαν συντεθέντα ἐν ἰσοδυναμίᾳ οὔτε
κρατεῖ ἀλλήλων ἐκ μέρεος, οὔτε κρατέεται,
ὡς τὰ μὲν αὔξαν, τὰ δὲ φθίσιν λαμβά-
νεν· μένει δὲ ἐν συναρμοτᾷ ἀδαλύτῳ κα-
τὰ λόγον ἄριστον. Τριῶν γὰρ ὡντινωνοῦν
ὅρων ὅταν καὶ τὰ δαστάματα καττὸν αὐτὸν
ἐστάθη λόγον ποτ' ἄλλαλα. τότε δὴ τὸ
μέσον ῥυσμῶ δίκας ὁρήμεθα ποττὸ πρῶτον,
ὅτιπερ τὸ τρίτον ποττ' αὐτὸ, κἂν πάλιν
καὶ παραλλὰξ κατ' ἐφθάρμοσιν τόπων καὶ
τάξιος. ταῦτα δ' ἀρηθμήμεναι μὴ κατ'
ἰσοκρατείας, ἀμάχανον παντὶ. εὖδ' ἔχει
καὶ καττὸ σχῆμα καὶ καττὰν κίνησιν. Καθ'
ὃ μὲν σφαῖρα ὄν, ὡς ὅμοιον αὐτὸ αὑτῷ,
πάντα εἶμεν καὶ πάντα τ' ἄλλα ὁμογενέα
σχήματα χωρεῖν δύνασθαι. καθὰν δὲ ἐγ-
κύκλιον μεταβολὰν ἀπρδιδὸν δι' αἰῶνος.
μόνα δὴ ἁ σφαῖρα ἐδύνατο καὶ ἀρεμέουσα
καὶ κινούμενα ἐν τᾷ αὐτᾷ συναρμόσεν

χώρᾳ,

χώρᾳ, ὡς μήποκα ἀπολιπεῖν, μήτε λαμ-
βάνειν ἄλλον τόπον, τοῦ ἐν μέσου ἴσον εἶ-
μεν πάντα. λειότατον δ' ὂν ποτ' ἀκρί-
βειαν κατ' ἀν ἐκτὸς ἐπιφάνειαν οὐ ποτι-
δέεται θνατὴν ὀργάνων, ἃ δὲ τὰς χρείας
τοῖς ἄλλοις ζώοις ποτάρτηταί τε καὶ δι-
ᾶκται. τὰν δὲ τῶ κόσμω ψυχὰν με-
σόθεν ἐξάψας ἐπάγαγεν ἔξω περικαλύ-
ψας αὐτὸν ὅλον αὐτᾷ, κρᾶμα αὐτὰν
κερασάμενος, ἔκτε τᾶς ἀμερίστω μορ-
φᾶς καὶ τᾶς μεριστᾶς οὐσίας, ὡς ἐν κρᾶ-
μα ἐκ δύο τουτέων εἶμεν, ὦ ποτέμιξεν
δύο δυνάμεις ἀρχὰς κινασίων, τᾶς τε
ταὐτῶ, καὶ τᾶς τῶ ἑτέρω, ἃ καὶ δύσ-
μικτος ἔασσα, οὐκ ἐκ τῶ ῥάστω συνε-
κίρνατο. λόγοι δ' οἵδε πάντεσ ἐντὶ κατ'
ἀριθμὼς ἁρμονικῶς συγκεκραμένοι, ὣς
λόγως κατὰ μοῖραν διαιρήκει ποτ' ἐπι-
στήμαν, ὡς μὴ ἀγνοεῖν ἐξ ὧν ἁ ψυχὰ καὶ
δι' ὧν συνεστάκει, ἂν οὐχ ὑστέραν τᾶς σω-
ματικᾶς οὐσίας συνετάξατο ὁ θεὸς, ὥσπερ

λέγο-

λέγομεν ἄμμεν. πρότερον γὰρ τὸ τιμιώτερον καὶ δυνάμει καὶ χρόνῳ, ἀλλὰ πρεσβυτέραν ἐποίει. μίαν ἀφαιρέων τὰν πρώτὰν μονάδων οὖσαν τεττόρων, ποτὶ ὀκτὼ δεκάσι καὶ τρισὶν ἑκατοντάσι, ταύτας δὲ τάν τε διπλασίαν καὶ τριπλασίαν ῥᾶον συλλογίξασθαι ἑσταμένω τῶ πράτω: δεῖ δ' εἶμεν πως πάντας σὺν τοῖς πληρώμασι καὶ τοῖς ἐπογδόοις ὅρους ς, καὶ λ, τὸν δὲ σύμπαντα ἀριθμὸν γενέσθαι μυριάδας, ια. καὶ τὴν τεττόρων χιλιάδων ἑξακοσίων η ε. ταὶ δὲ διαιρέσεις αὗται ἐντὶ μυριάδεν ια δ χ η ε.

p. 622. Stoei.

| | α | β | γ | δ | ε | ς | ξ |
|---|---|---|---|---|---|---|---|
| | | | | λεῖμμα. | | | λεῖμμα. |
| α. | τπδ | υλβ | υπς | φιβ | φυς | χμη. | ψκθ. |
| | διπλάσιος τοῦ α | | | | | | |
| | κ. | θ. | ι. | ια. | | | |
| β. | ψξη. | ωξδ. | ϡυβ. | ͵ακδ. | | | |
| | ιβ. | ιγ. | ιδ. | λεῖμμα. | | | |
| γγ. | ͵αρνβ. | ͵ασνη. | ͵αυνη. | ἀκρτομή. | | | |

δίεσις. βρπζ. λεῖμμα.

ιε. ις. ιζ. ιη. ιθ. κ. κα.

λεῖμμα. λεῖμμα.

δδ. ͵αφλς. ͵αψκη. ͵αϡμδ. βμη. βτδ. βφνβ. βϡις.

κβ ἀκρτομὴ

εη. ͵γοβ. δίεσις. ςφξα. λεῖμμα.

κγ. κδ. κε. κς. κζ.

λεῖμμα.

ςθ. ͵γυνς. ͵γωπη. δτοδ. ͵δχη. ͵ερπδ.

κη. κθ. λ.

λεῖμμα.

͵εωλβ. ͵ςρμδ. ͵ςϡιβ.

λα. λβ. λγ.

λεῖμμα

͵ζψος. ͵ηψμη. ͵θσις.

λδ

͵ζκζ. ͵ατξη.

Τὰ μὲν οὖν τῶ ὅλω, ταῦτα πῶς δι-
εῖλε. Θεὸν δὲ τὸν μὲν αἰώνιον, νόῳ
ὁρῆ μόνῳ, τῶ ἁπάντων ἀρχαγὸν ὡς γε-
νέτορα

νέτορα τουτέων: τὸν δὲ γενατὸν, ὄψει ὁ-
ρέομεν, κόσμον δὲ τόνδε, καὶ τὰ μέρεα
αὐτω, ὁκόσα οὐράνια ἐντὶ, τάπερ αἰθέρια
ὄντα διαιρετὰ δίχα, ὡς τὰ μὲν τᾶς ταυ-
τῶ φύσιος εἶμεν, τάδε τῶ ἑτέρω, ὧν
τὰ μὲν ἔξωθεν ἄγει πάντα ἐν αὐτοῖς τὸ
ἐντὸς, ἀπ' ἀνατολᾶς ὠδὶ δύσιν τὰν κα-
θάπαν κίνασιν: τὰ δὲ τᾶς τῶ ἑτέρω ἐν-
τὸς ἀπ' ἑσπέρας τὰ ποθ' ἕω μὲν ἐπα-
ναφερόμενά τε καὶ καθ' αὑτὰ κινεόμε-
να, συμπεριδινέεται δὲ κατὰ συμβεβη-
κὸς τᾷ ταυτῶ φορᾷ κράτος ἔχουσα ἐν
κόσμῳ κάρρον. ἁ δὲ τῶ ἑτέρω φορᾷ με-
μερισμένα καθ' ἁρμονικὼς λόγως, ἐν
ἑπτὰ κύκλως συντέτακται. ἁ μὲν ὧν σε-
λάνα ποτιγειοτάτα ἔασσα, ἔμμηνον τὰν
περίοδον ἀπαρδίδωτι. ὁ δ' ἅλιος μετὰ
ταύταν ἐνιαυσιαίῳ χρόνῳ, τὸν αὐτῶ κύ-
κλον ἐκτελεῖ. δύο δ' ἰσόδρομοι ἀελίῳ
ἐντὶ, ἑρμᾶ τε καὶ ἥρας, τὸν ἀφροδίτας
καὶ φωσφόρον, τοὶ πολλοὶ καλέοντι. νο-
μεῖς γὰρ

μεῖς γὰρ καὶ πᾶς ὁμῖλος, οὐ σοφὸς τὰ περὶ τὴν ἱερὰν ἀστρονομίαν ἐντὶ, οὐδ' ἐπιστάμων ἀνατολῶν τᾶν ἑσπερίων καὶ ἑώων. ὁ γὰρ αὐτὸς, πόκα μὲν ἕσπερος γίγνεται, ἑπόμενος τοῦ ἁλίῳ τοσοῦτον, ὁκόσον μὴ ὑπὸ τᾶς αὐγᾶς αὐτῶ ἀφανισθῆμεν, πόκα δὲ ἑῶος, αἴκα προαγέηται τοῦ ἁλίῳ, καὶ προανατέλλει ποτ' ὄρθρον. φωσφόρος ὦν πολλάκις μὲν γίγνεται ὁ τᾶς ἀφροδίτας, διὰ τὸ ὁμοδρομεῖν ἁλίῳ: οὐκ ἀεὶ δὲ, ἀλλὰ πολλοὶ μὲν τὴν ἀπλανέων, πολλοὶ δὲ τῶν πλαζομένων. πᾶς δὲ ἐν μεγέθει ἀστὴρ ὑπὲρ τὸν ὁρίζοντα πρὸ ἁλίου προγενόμενος, ἁμέραν ἀγγελεῖ: τοὶ δ' ἄλλοι τρεῖς, Αρεός τε καὶ διὸς καὶ κρόνου, ἔχοντι ἴδια τάχεα, καὶ ἐνιαυτὼς ἀνίσως: ἐκτελέοντι δὲ τὸν δρόμον, περὶ καταλάψιας ποιεύμενοι φάσιάς τε καὶ κρύψιας καὶ ἐκλείψιας, γεννῶντες ἀτρεκέας τε ἀνατολὰς καὶ δύσιας. ἔτι δὲ φάσιας φανερὰς ἑώας ἢ

ἑσπερίως ἐκτελέοντι ποτὶ τὸν ἅλιον, ὃς ἁμέραν ἀφδίδωτι τὸν ἀπ' ἀνατολᾶς ὠθὶ δύσιν αὐτῶ δρόμον, νύκτα δὲ τὰν ἀφ' δύσιος ἐπ' ἀνατολὰν, κίνασιν κατ' ἄλλο ποιέεται, ἀγόμενος ὑπὸ τᾶς ταυτῶ φορᾶς: ἐνιαυτὸν δὲ κατὰν αὐτῶ καθ' ἑαυτ' κίνασιν. ἐκ δὲ τουτέων τῶν κινασίων, δύο ἐασσᾶν, τὰν ἕλικα ἐκτυλίσσει, ποθέρπων μὲν κατὰ μίαν μοῖραν ἐν ἁμερησίῳ: περιδινευόμενος δὲ ὑπὸ τᾶς τῶν ἀπλανέων σφαίρας καθ' ἑκάσταν περίοδον ὄρφνας καὶ ἁμέρας. χρόνῳ δὲ τὰ μέρεα τάσδε τὰς περιόδως λέγοντι, ἃς ἐκόσμησεν ὁ θεὸς σὺν κόσμῳ· οὐ γὰρ πρὸ κόσμω ἄστρα. διόπερ οὐδ' ἐνιαυτὸς, οὐδ' ὡρᾶν περίοδοι, αἷς μετρέεται ὁ γενατὸς κόσμος οὗτος. εἰκὼν δὲ ἐστὶ τῶ ἀγενάτω χρόνω, ὃν αἰῶνα ποτταγορεύομεν. ὡς γὰρ πατ' ἀΐδιον πράδειγμα τὸν ἰδανικὸν κόσμον, ὅδε ὠρανὸς ἐγεννάθη, οὕτως ὡς πρὸς πράδειγμα τὸν αἰῶνα, ὁ δὲ χρόνος σὺν κόσμω

ἐδα-

ἐδαμιουργήθη. γᾶ δ' ἐν μέσω, ἱδρυμένα ἑστία θεῶν, ὅρος τε ὄρφνας καὶ ἀγὸς γίνεται, δύσιας τε καὶ ἀνατολὰς γεννῶσα κατ' ἀπτομὰς τῶν ὁριζόντων, ὡς τᾷ ὄψει καὶ τᾷ ἀπτομᾷ τᾶς γᾶς περιγραφόμενα. πρεσβύστα δ' ἐν τὶ τῶν ἐν τὸς ὠρανῶ σωμάτων. οὐδέποκα ὕδωρ ἐγεννάθη δίχα γᾶς, οὐδὲ μάντοι ἀὴρ, χωρὶς ὑγρῶ, πῦρ τε ἐρήμου ὑγρῶ καὶ ὕλας, ἃς ἐξάπτοι, οὐκ ἂν διαμένοι· ὥς τε ῥίζα πάντων καὶ βάσις ἁ γᾶ ἐρήρεισται ἐπὶ τᾶς αὐτᾶς ῥοπᾶς· ἀρχαὶ μὲν ὧν τῶν γεννωμένων, ὡς μὲν ὑποκείμενον ἁ ὕλα· ὡς δὲ λόγος μορφᾶς τὸ εἶδος, ἀπεγεννάματα δὲ τουτέων ἐστὶ τὰ σώματα, γᾶ τε καὶ ὕδωρ ἀήρ τε καὶ πῦρ, ὧν ἁ γένεσις τοιαῦτα. Απαν σῶμα ἐξ ἐπιπέδων ἐστί. οὐδὲ τὸ ἐκ τριγώνων, ὧν τὸ μὲν ὀρθογώνιον ἰσοσκελὲς, ἡμιτετράγωνον, τὸ δὲ ἀνισόπλευρον, ἔχον τὰν μείζονα δυνάμει τριπλασίαν τῆς ἐλάσσονος. ἁ δ' ἐλαχίστα ἐν αὐτῷ γωνία, τρίτον ὀρθῆς ἐστι, διπλασία δὲ ταύτας ἁ μέσα. δύο γὰρ

τρίτον ἅδ' ἐστίν. ἁ δὲ μεγίστα ὀρθὰ, ἁμιό-
λιος μὲν τᾶς μέσας ἔασσα, τριπλασία δὲ
τᾶς ἐλαχίστας. οὗτος δὲ ὧν τὸ τρίγωνον, ἁ-
μιτρίγωνόν ἐστιν ἰσοπλεύρω τριγώνω, δίχα
τετμημένω καθέτω ἀὲρ τᾶς κορυφᾶς ἐς
τὰν βάσιν ἐς ἴσα μέρεα. δύο ὀρθογώνια
μὲν ὧν ἐντὶ ἑκατέρω, ἀλλὰ γὰρ ὧ μὲν τὰι
δύο πλευραὶ, τὰι περὶ τὰν ὀρθὰν μόναι
ἴσαι. γὰρ ὧ δὲ τὰι τρεῖς πᾶσαι ἄνισοι,
σκολιὸν δὲ οὗτος μὲν καλεέσθω. κεῖνο δὲ
ἁμιτετράγωνον, ἀρχὰ συστάσιος γᾶς. τὸ
γὰρ τετράγωνον ἐκ τουτέων, ἐκ τεττό-
ρων ἁμιτετραγώνων συντεθειμένον. ἐκ δὲ
τῶ τετραγόνω γεννᾶσθαι τὸν κύβον, ἑ-
δραιότατον καὶ σταδιαῖον πάντῃ σῶμα,
ἓξ μὲν πλευρὰς, ὀκτὼ δὲ γωνίας ἔχον.
Καττοῦτο δὲ βαρύτατόν τε καὶ δυσκίνα-
τον ἁ γᾶ, ἀμετάβλητόν τε σῶμα εἰς ἄλ-
λα, διὰ τὸ ἀκοινώνευτον εἶμεν τῶ ἄλλω
γένεος τοῦ τριγώνῳ. μόνα γὰρ ἁ γᾶ,
ἀΐδιον στοιχεῖον ἔχει τὸ ἁμιτετράγωνον.

οὗτος δὲ

τοῦτο δὲ στοιχεῖον τὴν ἄλλων σωμάτην ἐστὶ πυρὸς, ἀέρος, ὕδατος. ἑξάκις γὰρ, συνθέντος τῶ ἁμιτριγώνω τρίγωνον ἐξ αὐτῶ ἰσόπλευρον γίνεται, ἐξ ὧ ἁ πύραμις, τέσσαρας βάσιας, καὶ τὰς ἴσας γωνίας ἔχουσα, συντίθεται εἶδος πυρὸς εὐκινατότατον καὶ λεπτομερέστατον. μετὰ τοῦτο ὀκτάεδρον, ὀκτὼ μὲν βάσιας, ἓξ δὲ γωνίας ἔχον, ἀέρος στοιχεῖον: τρίτον δὲ εἰκοσίεδρον, βασίων μὲν εἴκοσι, γωνιῶν δὲ δώδεκα, ὕδατος στοιχεῖον πολυμερέστατον καὶ βαρύτατον. ταῦτα δ' ὧν ἀὴρ ταυτῶ στοιχείω συγκείμενα εἰς ἄλληλα τρέπεται. τὸ δὲ δωδεκάεδρον, εἰκόνα τοῦ παντὸς ἑστάσατο, ἔγγυστα σφαίρᾳ ἐόν. πῦρ μὲν ὧν διὰ τὰν λεπτομέρειαν, διὰ πάντην ἥκον: ἀήρτε διὰ τὴν ἄλλων ἔξω πυρός: ὕδωρ δὲ διὰ τᾶς γᾶς. ἅπαντα δ' ὧν πλήρη ἐντὶ, οὐδὲν κενεὸν ἀπολείποντα. συνάγεται δὲ τᾷ περιφορᾷ τοῦ παντὸς, καὶ ἠρεισμένα τρίβεται μὲν ἀ-

μοιβαδὸν, ἀδιάλειπτον ἢ ἀλλοίωσιν ποτὶ γενεσίας καὶ φθορὰς ἀπρδίδωτι. τούτοις δὲ ποτιχρεόμενος ὁ θεὸς, τόνδε τὸν κόσμον κατεσκεύαξεν, ἁπτὸν μὲν διὰ τὰν γᾶν: ὁρατὸν δὲ διὰ τὸ πῦρ· ἅπερ δύο ἄκρα διὰ ἀέρος δὲ καὶ ὕδατος συνεδήσατο δεσμῷ κρατίστῳ, ἀναλογίᾳ, ἃ καὶ αὐτὸν καὶ τὰ δι' αὐτὰς κρατεόμενα συνέχειν δύναται. εἰ μὲν ὦν ἐπίπεδον εἴη τὸ συνδεόμενον, μία μεσότας ἱκανὰ ἐστιν· εἰ δέκα στερεὸν, δύο χρήζει. δύσιν ὦν μέσοις, δύο ἄκρα προσαρμόξατο, ὅκως εἴη ὡς πῦρ ποτ' ἀέρα, ἀὴρ ποτὶ ὕδωρ, ὕδωρ ποτὶ γᾶν, καὶ κατεναλλαγὰν, ὡς πῦρ ποτὶ ὕδωρ, ἀὴρ ποτὶ γᾶν: καὶ ἀνάπαλιν, ὡς γᾶ ποτὶ ὕδωρ, ὕδωρ ποτ' ἀέρα, καὶ ἀὴρ ποτὶ πῦρ. καὶ κατ' ἐναλλγὰν, ὡς γᾶ ποτ' ἀέρα, ὕδωρ ποτὶ πῦρ: καὶ ἐπεὶ δυνάμει ἴσα ἐντὶ πάντα, τοὶ λόγοι αὐτὴν ἐν ἰσονομίᾳ ἐντὶ. εἰς μὲν ὦν ὁ δὲ ὁ κόσμος δαιμονίω δεσμῷ τὸ ἀνάλογόν

ἐστιν.

ἐστιν. ἕκαστον δὲ τῶν τεττόρων σωμάτων πολλὰ εἴδεα ἔχει, πῦρ μὲν φλόγα καὶ φῶς καὶ αὐγὰν, διὰ τὰν ἀνισότητα τῶν ἐν ἑκάστῳ αὐτῶν τριγώνων. Κατ' αὐτά τε καὶ ἀὴρ τὸ μὲν καθαρὸν καὶ αὖον, τὸ δὲ νοτερὸν καὶ ὁμιχλῶδες. ὕδωρ τε τὸ μὲν ῥυτὸν, τὸ δὲ πακτὸν, ὁκόσον χιώντε, καὶ πάχνα, χάλαζά τε, καὶ κρύσταλλος. ὑγρόντε· τὸ μὲν ῥυτὸν ὡς μέλι, ἔλαιον: τὸ δὲ πακτὸν, ὡς πίσσα, κηρός. πακτῶ δὲ εἴδεα, τὸ μὲν χυτὸν, χρυσὸς, ἄργυρος, χαλκὸς, κασσίτερος, μόλιβδος, σταγών. τὸ δὲ θραυστὸν, θεῖον, ἄσφαλτον, νίτρον, ἅλες, συττηρία, λίθοι τοὶ ὁμογενέσσ. Μετὰ δὲ τὰν τῶ κόσμω σύστασιν, ζώων θνατῶν γενέσιν ἐμαχανεύσατο, ἵν' ἦ τέλεος, ποτὶ τὰν εἰκόνα παντελῶς ἀπειργασμένος. τὰν μὲν ὦν ἀνθρωπίναν ψυχὰν ἐκ τῶν αὐτῶν λόγων καὶ δυνάμιων συγκερασμένος. καὶ μερίξας διένειμε τᾷ φύσει τᾷ ἀλλιωτικᾷ παραδοὺς,

διαδεξαμένα δὲ αὐτὸν ἐν τῷ ἀπεργάζειν θνατάτε καὶ ἐφαμερία ζῶα: ὧν τὰς ψυχὰς ἐπιῤῥύτως ἐνέσαγε, τὰς μὲν ἀπὸ σελάνας, τὰς δ' ἀπ' ἁλίω, τὰς δὲ ἀπὸ τῶν ἄλλων τῶν πλαζομένων ἐν τᾷ τῶ ἑτέρω μοίρᾳ ἔξω μίας τὰς τῶ αὐτῶ δυνάμιος, ἃν ἐν τῷ λογικῷ μέρει ἔμιξεν εἰκόνα σοφίας τοῖς εὐμοιρατοῦσι. τὰς μὲν γὰρ ἀνθρωπίνας ψυχᾶς, τὸ μὲν, λογικόν ἐστι καὶ νοερόν· τὸ δ' ἄλογον καὶ ἄφρον. τῶ δὲ λογικῶ, τὸ μὲν κρέσσον ἐκ τᾶς ταυτῶ φύσιος, τὸ δὲ χέρειον ἐκ τᾶς τῶ ἑτέρω. ἑκάτερον δὴ περὶ τῆ κεφαλὴν ἵδρυται μένον, ὥς τε ἄλλα μέρεα τᾶς ψυχᾶς καὶ τῶ σώματος ὑπηρετεῖν τούτω, καθάπερ ὑπὸ αὐτῶ τῶ σκάνεος ἅπαντος. τῶ δ' ἀλόγω μέρεος, τὸ μὲν θυμοειδὲς περὶ τὴν καρδίαν, τὸ δ' ἐπιθυματικὸν περὶ τὸ ἧπερ. τῶ δὲ σώματος ἀρχὰν μὲν καὶ ῥίζαν μυελῶ εἶμεν ἐγκέφαλον, ἐν ᾧ ἁ ἁγεμονία. ἀπὸ δὲ τούτω

ἀπόχυ-

ἀπόχυμα ῥεῖ διὰ τῶν νωτίων σπονδύλων τὸ λοιπὸν, ἐξ ὧ εἰς σπέρμα καὶ γόνον μερίζεσθαι, ὀστέα δὲ μυελῶν περιφράγματα: τουτέων δὲ σκέπαν μὲν τὰν σάρκα, καὶ προκάλυμμα: συνδέσμοις δὲ ποττὰν κίνησιν τοῖς νεύροις σύναξε τὰ ἄρθρα: τῶν δὲ ἐντοσθίων τὰ μὲν τροφᾶς χάριν, τὰ δὲ σωτηρίας. Κινασίων δὲ τῶν ἀπὸ τῶν ἐκτὸς τᾶς μὲν ἀναδιδομένας εἰς τὸν φρονέοντα τόπον αἰσθασίας εἶμεν. τᾶς δ' ὑπὸ ἀντίλαψιν μὴ πιπτοίσας ἀνεπαισθήτως, ἢ τοῦ τὰ πάσχοντα σώματα γεωδέστερα εἶμεν, ἢ τοῦ τᾶς κινάσιας ἀμενηνοτέρας γίγνεσθαι. ὁκόσαι μὲν ὧν ἐξίστανται τὰν φύσιν, ἀλγειναὶ ἐντί. ὁκόσαι δὲ ἀποκαθίστανται ἐν αὐτὰν, ἁδοναὶ ὀνυμαίνονται. τᾶν δ' αἰσθησίων, τὰν μὲν ὄψιν ἄμμιν τὸν θεὸν ἀνάψαι εἰς θέαν τῶν ὠρανίων, καὶ ἐπιστάμας ἀνάλαψιν: τὰν δὲ ἀκοὰν λόγων καὶ μελῶν ἀντιλαπτικὰν ἔφυσεν, ἃς στερισκόμενος ἐκ γενέσεως ὁ

 ἄνθρω-

ἄνθρωπος, ὅτε λόγον ἔτι πρέσθεν δυνά-
σεται. διὸ καὶ συγγενασάταν τῷ λόγῳ
ταύταν αἴσθασιν φαντὶ εἶμεν. ὁκάσα δὲ
πάθεα τῶν σωμάτων ὀνυμαίνεται ποτὶ τὰν
ἁφὰν κληΐζεται, τὰ δὲ ῥοπᾷ ποτὶ τὰν
χώραν. ἁ μὲν γὰρ ἁφὰ κρίνει τὰς ζωτι-
κὰς δυνάμιας, θερμότητα, ψυχρότητα,
ὑγρότατα, λειότατα, τραχύτατα, εἴκον-
τα, ἀντίτυπα, μαλακὰ, σκληρά. βαρὺ
δὲ καὶ κουφὸν ἁφὰ μὲν πρεκρίνει, λόγος
δὲ ὁρίζει τᾷ εἰς τὸ μέσον καὶ ἀὲρ τῷ μέ-
σω νεύσει. κάτω δὲ, καὶ μέσον ταὐτὸ φαν-
τί. τὸ γὰρ κέντρον τᾶς σφαίρας οὖν ἐστὶ
τὸ κάτω. τὸ δ' ὑπὲρ τούτω ἄχρι τᾶς πε-
ριφερείας ἄνω. τὸ μὲν ὦν θερμὸν λεπτο-
μερὲς καὶ διαστατικὸν τὴν σωμάτην δοκεῖ
εἶμεν· τὸ δὲ ψυχρὸν παχυμερέστερον πό-
ρων, καὶ συμπιλωτικόν ἐστι. τὰ δὲ περὶ
τὰν γεῦσιν ἔοικε τᾷ ἁφᾷ. συγκρίσει γὰρ
καὶ διακρίσει, ἔτι δὲ τᾷ ἐν τῶς πόρως
διαδύσει, καὶ τοῖς σχημάτεσσιν, ἢ στρυφνὰ,
ἢ λεῖα;

ἢ λεῖα: ἀκρτάκοντα δὲ καὶ ῥύπτοντα τὰν γλῶτταν, πικρὰ φαίνεται· μετριάζοντα δὲ τὰ ῥύψει, ἁλμυρὰ· ἐκπυροῦντα δὲ καὶ διαιρέοντα τὰν σάρκα, δριμέα. τὰ δ' ἐναντία, λεῖά τε καὶ γλυκέα κεχύλωται. ὀσμᾶς δὲ εἴδεα μὲν οὐ κεχώρισται. διὰ γὰρ στενῶν πόρων διηθεῖσθαι στεῤῥοτέρων ὄντων, ἢ ὡς συνάγεσθαι, καὶ δίστασθαι, σάψεσι καὶ πέψεσι γᾶς τε καὶ γεωειδέων, εὐώδεά τε καὶ δυσώδεα εἶμεν. φωνὰ δ' ἐστὶν πλάξις ἐν ἀέρι διϊκνουμένα ποτὶ τὰν ψυχὰν δι' ὤτων, ὧν τοὶ πόροι διίκοντι ἄχρις ἥπατος χωρέοντες, ἐν τούτοις πνεῦμα, οὗ ἁ κίνασις ἀκοά ἐστι. φωνᾶς δὴ καὶ ἀκοᾶς, ἁ μὲν ταχεῖα, ὀξεῖα· ἁ δὲ βραδεῖα, βαρεῖα· μέσα δὲ, ἁ συμμετροτάτα: καὶ ἁ μὲν πολλὰ καὶ κεχυμένα, μεγάλα: ἁ δὲ ὀλίγα καὶ συναγμένα, μικρὰ. ἁ δὲ τεταγμένα ποτὶ λόγως μουσικὼς, ἐμμελής· ἁ δὲ ἄτακτος καὶ ἄεργος, ἐκμελής τε καὶ ἀνάρμοστος. τέταρτον δὲ γένος αἰσθητῶν

πολυει-

πολυειδέστατον καὶ ποικιλώτατον. ὁρατὸν δὲ λέγεται, ἐν ᾧ χρώματά τε παντοῖα καὶ κεχρωσμένα μύρια. πρᾶτα δὲ τέτορα, λευκὸν, μέλαν, λαμπρὸν, φοινικοῦν. τ' ἄλλα γὰρ ἐκ κιρναμένων τούτων γενναῖται. τὸ μὲν ὦν λευκὸν διακρίνει τὴν ὄψιν: τὸ δὲ μέλαν συγκρίνει: ὅκωσπερ τὸ θερμὸν διαχεῖ τὰν ἁφὰν. τὸ δὲ ψυχρὸν συνάγειν δύναται. καὶ τὸ μὲν στρυφνὸν συνάγειν τὰν γεῦσιν, τὸ δὲ δριμὺ διαιρεῖν πέφυκε. Τρέφεσθαι δὲ τὸ σκάνος τὴν ἐναερίων ζώων, καὶ συνέχεσθαι, τᾶς μὲν τροφᾶς διαδιδομένας διὰ τῶν φλεβῶν εἰς ὅλον τὸν ὄγκον κατ' ἐπιῤῥοὰν, οἷον δι' ὀχετῆν ἀγομένας καὶ ἀρδομένας ὑπὸ τῶ πνεύματος, ὃ διαχεῖ αὐτὰν ἀθὶ τὰ πέρατα φερόν. ἁ δ' ἀνάπνοια γίνεται μηδενὸς μὲν κενεῶ ἐν τᾶ φύσει ἐόντος, ἐπιῤῥέοντος δὲ καὶ ἑλκομένω τῶ ἀέρος ἀντὶ τοῦ ἀῤῥέοντος διὰ τὴν ἀοράτην στομίων, δι' ὧν καὶ ἁ νοτὶς ἐπι-

φαίνε-

φαίνεται, τινὸς δὲ καὶ ὑπὸ τᾶς φυσι-
κᾶς θερμότατος ἀπαναλουμένω. ἀνάγκα
ὦν ἀντικαταταχθῆμεν τὸ ἴσον τοῦ ἀναλω-
θέντι: εἰ δὲ μὴ, κενωσίας εἶμεν: ὅπῃ ἀ-
μάχανον. οὐδὲ γὰρ ἔτι εἴη καὶ σύῤῥον καὶ
ἓν τὸ ζῷον, διαιρουμένω τῶ σκάνεος ὑπὸ
τῶ κενεῶ. ἁ δὲ ὁμοία ὀργανοποιΐα γίνε-
ται καὶ ἐπὶ τῶ ἀψύχων καττὰν τᾶς ἀνα-
πνοᾶς ἀναλογίαν. ἁ γὰρ σικύα, καὶ τὸ
ἤλεκτρον, εἰκόνου ἀναπνοᾶς ἐντὶ. ῥεῖ γὰρ
διὰ τῶ σώματος ἔξω θύραζε τὰ πνεύ-
ματα. ἀντεπεισάγεται δὲ διὰ τᾶς ἀνα-
πνοᾶς τῶτε σώματι καὶ ταῖς ῥισὶν: εἶτα
πάλιν, οἷον εὔριπος ἀντεπιφέρεται εἰς
τὸ σῶμα, τὸ δὲ ἀνατείνεται καττὰς ἐκροὰς,
ἀπαναλωθέντος ἀπὸ τῶ πυρὸς τῶ ἀέρος
ἐφέλκεται τὸ ὑγρόν. τόδ' ἤλεκτρον ἐκ-
κριθέντος τῶ πνεύματος ἀναλαμβάνει
τὸ ὅμοιον σῶμα. τροφὰ δὲ πᾶσα, ἀπὸ ῥί-
ζας μὲν τᾶς καρδίας, πατᾶς δὲ τᾶς κοι-
λίας ἐπάγεται τοῦ σώματι, ὃ καὶ εἴκα

πλείω

πλείω τᾶς ἀποῤῥεοίσας ἐπάρδοιτο, αὔξα λέγεται· εἴκα δὲ μείω, φθίσις· ἁ δὲ ἀκμὰ μεθόριον τουτέων ἐστὶ: καὶ γὰρ ἰσότατι ἀπῤῥοᾶς καὶ ἐπιῤῥοᾶς νοέεται. λυομένων δὲ τῶν ἁρμῶν τῆς συστάσιος, αἴκα μηκέτι δίοδος πνεύματι, ἢ τροφὰ διαδίδοται, θνάσκει τὸ ζῶον. πολλαὶ δὲ κᾶρες ζωᾶς καὶ θανάτου αἰτίαι. γὰρ δὲ γένος νόσος ὀνυμαίνεται. νόσω δὲ ἀρχαὶ μὲν αἱ τᾶν πρώτην δυνάμιων ἀσυμμετρίαι, εἴκα πλεονάζοιεν, ἢ ἐλλείποιεν ταὶ ἁπλαὶ δυνάμιες, θερμότας, ἢ ψυχρότας, ἢ ὑγρότας, ἢ ξηρότας, μετὰ δὲ ταύτας αἱ τῶ αἵματος τροπαὶ, καὶ ἀλλοιώσιες ἐκ διαφθορᾶς, καὶ αἰτίας σαρκὸς τακομένας κακώσιες, αἴκα καττὰς μεταβολὰς ὠθὶ τὸ ὀξὺ, ἢ ἁλμυρὸν, ἢ δριμὺ, τροπαὶ αἵματος ἢ σαρκὸς τακεδόνες γένοιντο. χολᾶς γὰρ αἱ γενέσιες καὶ φλέγματος. ἔνθεν δὲ χυμοὶ νοσώδεες καὶ ὑγρῶν σάψιες: ἀμαυραὶ μὲν αἱ μὴ γὰρ βάθει, χαλεπαὶ δὲ: ὧν ἀρχαὶ γεννῶνται ἐξ

ὀστέων,

ὀστέων, ἀνιαραὶ δὲ ἐκ μυελοῦ ἐξαπτόμε-
ναι. τελευταῖα δὲ νόσων ἐντὶ πεῦμα,
χολὰ, φλέγμα, αὐξανόμενα καὶ ῥέοντα
εἰς χώρας ἀλλοτρίας ἢ τόπως ἐπικαιρί-
ως. τόκα γὰρ ἀντικαταλαμβάνοντα τὰν
τῆν καῤῥόνων χώραν καὶ ἀπελάσαντα τὰ
συγγενέα ἱδρύεται κακοῦντα τὰ σώματα
καὶ ἐν αὐτὰ ταῦτα ἀναλύονται. καὶ σώ-
ματος μὲν πάθεα τάδε, καὶ ἐκ τῆνδε ψυ-
χᾶς νόσοι ἐντὶ πολλαί. ἄλλαι δ' ἄλλων
δυνάμιων ἐντί. αἰσθητικᾶς μὲν δυσαι-
σθησία· μναμονικᾶς δ' λάθα· ὁρμητικᾶς
δ' ἀνορεξία καὶ ἀπρόπεια· παθητικᾶς
δὲ, ἄγρια πάθεά τε καὶ λύσσαι οἰστρώ-
δεις· λογικᾶς δὲ ἀμαθία καὶ ἀφροσύνη.
ἀρχαὶ δὲ κακίας ἡδοναὶ, καὶ λύπαι, ἐπι-
θυμίαι τε, καὶ φοβοι: ἐξαμμέναι μὲν
ἐκ σώματος, ἀνακεκραμμέναι δὲ τᾷ
ψυχᾷ, καὶ ἐξαγγελλόμεναι ὀνόμασι ποι-
κίλοις. ἐρῶτες γὰρ καὶ πόθοι, ἵμεροι τε
ἔκλυτοι, ὀργαί τε σύντονοι, καὶ θυμοὶ

βαρεῖς

βαρεῖς, ἐπιθυμίαι τε ποικίλαι, καὶ ἡδο-
ναὶ ἄμετροι ἐντί. ἁπλῶς δὲ ἀτόπως ἔ-
χειν ποτὶ τὰ πάθεα, καὶ ἄρχεσθαι, πέρας
ἀρετᾶς καὶ κακίας ἐστί. τὸ γὰρ πλεονάζειν
ἐν ταύταις, ἢ κάρρον αὐτᾶν εἶμεν, εὖ ἢ
κακῶς ἄμμε διατίθητι. ποτὶ δὲ ταύτας
τὰς ὁρμὰς μεγάλα μὲν συνεργεῖν δύ-
νανται αἱ τῶν σωμάτων κράσιες ὀξεῖαι,
ἢ θερμαί, ἢ ἄλλοτε ἀλλοῖαι γιγνόμεναι,
ἐς μελαγχολίας καὶ λαγνείας λαβροτό-
τας ἄγοισαι ἄμμε, καὶ ῥευματιζόμενα μέ-
ρεα διαξασμὼς ποιεῦτι καὶ μορφὰς φλε-
γμαινόντην σωμάτην μᾶλλον, ἢ ὑγιαι-
νόντην: δι' ὧν δυσθυμίαι καὶ λήθαι, πα-
ραφροσύναι τε, καὶ πτοῖαι ἀπεργάζον-
ται. ἱκανὰ δὲ τὰ ἔθεα, ἐν οἷς ἂν ἐντρα-
φῶσι κατὰ τὴν πόλιν, ἢ οἶκον καὶ ἁ καθ'
ἁμέραν διαίτα θρύπτουσα τὰν ψυχὰν ἢ
ῥωννῦσα ποτ' ἀλκάν. τὰ γὰρ θυραυλίαι,
καὶ ἁπλαὶ τροφαί, καὶ τὰ γυμνάσια, καὶ
τὰ ἤθεα τὴν συνόντων τὰ μέγιστα δύναν-

ται πο-

ται ποτὶ ἀρετὰν, καὶ ποτὶ κακίαν, καὶ ταῦτα μὲν αἴτια ἐκ τῆν γενετόρων, καὶ στοιχείων ἐπάγεται μᾶλλον ἢ δὲ ἁμέων. ὅτι μὴ ἀργία ἐστὶν ἀριστάμενον ἁμῶν τῆν ποθακόντην ἔργων. ποτὶ δὲ τὸ εὖ ἔχειν τὸ ζῶον, δεῖ τὸ σῶμα ἔχειν τὰς ὑπ' αὐτῷ ἀρετὰς, ὑγείαν τε καὶ εὐαισθησίαν ἰσχὺν τε καὶ κάλλος: ἀρχὰ δὴ κάλλους συμμετρία, ποτὶ δ' αὐτὰ τὰ μέρεα, καὶ ποτὶ τὰν ψυχάν. ἁ γὰρ φύσις οἷον ὄργανον ἁρμόξατο τὸ σκάνος ὑπακοῦόν τε εἶμεν καὶ ἐναρμόνιον ταῖς τῆν βίων ὑποθέσεσι. δεῖ δὲ καὶ τὰν ψυχὰν ῥυθηγέεσθαι ποτὶ τὰς ἀναλόγως ἀρετὰς, ποτὶ μὲν σωφροσύναν οἷον ποτὶ ὑγείαν τὸ σῶμα, ποτὶ δὲ φρόνασιν οἷον ποτὶ εὐαισθησίαν, ποτὶ δ' ἀνδρότητα οἷον ποτὶ ῥώμαν καὶ ἰσχὺν, ποτὶ δὲ δικαιοσύνην οἷον ποτὶ κάλλος τὸ σῶμα. τουτέων δὲ ἀρχὰ μὲν ἐκ φύσεως, μέσα δὴ καὶ πέρατα δὲ ἐπιμελείας σώματος τε διὰ γυμναστικᾶς καὶ ἰατρι-

 κᾶς,

κᾶς, ψυχᾶς δὲ διὰ παιδείας καὶ φιλοσο-
φίας. αὗται γὰρ τὰι δυνάμιεσ τρέφοι-
σαι καὶ τονοῖσαι καὶ σώματα καὶ τὰς ψυ-
χὰς διὰ πόνων καὶ γυμνασίων καὶ διαί-
τας καθαρύτατος, τὰι μὲν διὰ φαρμα-
κείαν, τὰι δὲ παιδευτικὰι τᾶν ψυχᾶν
διὰ κολασίων καὶ ἐπιπλαξίων. ῥώννυσι
γὰρ διὰ πεῖρο πᾶν ἐγείροισαι τὰν ὁρμὰν
καὶ ἐκκελευόμεναι τὰ ποτίφορα ποττὶ
ἔργα. ἀλειπτικὰ μὲν ὦν καὶ ἁ ταῦτα
συγγενεστάτα ἰατρικὰ σώματα ταχθεῖσα
θεραπεῦεν ἐσ τὰν κρατίσταν ἁρμονίαν
ἄγοισα τὰς δυνάμιας, τό, τε αἷμα κα-
θαρὸν καὶ τὸ πνεῦμα σύῤῥοον ἀπεργά-
ζεται, ἵνα εἰ καὶ τὶ νοσῶδεσ ὑπογένοι-
το, κράτος αὐτοῦ ἔχοιεν ἐῤῥωμένοι τὰι
δυνάμεις αἵματος καὶ πνεύματος. Μω-
σικὰ δὲ καὶ ἁ ταύτας ἁγεμὼν φιλοσο-
φία, ἐπὶ τᾷ τᾶς ψυχᾶς ἐπανορθώσει
ταχθεῖσαι ὑπὸ θεῶν καὶ νόμων, ἐθίζον-
τι, καὶ πείθοντι, τάδε καὶ ποταναγκά-
ζοντι,

ζοντι, τὸ μὲν ἄλογον τοῦ λογικῷ πείθε-
σθαι: τῶ δὲ ἀλόγω θυμὸν μὲν πρᾶον
εἶμεν; ἐπιθυμίαν δὲ γὰρ ἀρεμίσει, ὡς
μὴ δίχα λόγου κινέεσθαι. μηδὲ μὰν ἀ-
τρεμίζειν τῶ νῶ ἐκκαλεομένω, ἢ ποτὶ
ἔργα, ἢ ποτὶ ἀπολαύσιας. οὗτος γὰρ
ἐστὶν ὅρος σωφροσύνης, εὐπείθεια δὲ, καὶ
καρτερία, καὶ σύνεσις, καὶ ἁ πρευβύ-
στα φιλοσοφία, ἀποκαθαράμεναι ψεύ-
δεα, ἐνέθηκαν τὰν ἐπιστήμαν ἀνακαλε-
σάμεναι τὸν νόον, ἐκ μεγάλας τᾶς ἀ-
γνοίας, καὶ χαλάσασαι ἐν ὄψιν τὴν θεί-
ων: τοῖς γὰρ δατρίβεν σὺν αὐταρκίᾳ τε
ποτ' ἀνθρώπεια, καὶ συνεργίᾳ ἐπὶ τὸν
σύμμετρον βίω χρόνον εὐδαιμόν ἐστιν,
ὅτω μὲν δὴ ὁ δαίμων μοίρας τᾶς δ'
ἔλαχε δι' ἀλαθευτάταν δόξαν ἄγεται
ἐπὶ τὸν εὐδαιμονέστατον βίον. εἰ δὲ κά-
τις σκληρὸς καὶ ἀπειθὴς, τούτῳ δ'
ἑπέσθω κόλασις, ἅ, τε ἐκ τὴν νόμων,
καὶ ἁ ἐκ τῶν λόγον σύντονα ἐπάγοισα

δείματά τε ἐπουράνια καὶ τὰ καθ' ἁ-
δεω: ὅτι κολάσεις ἀπαραίτητοι ἀπό-
κεινται δυσδαίμοσι νερτέροις: καὶ τ'
ἄλλα, ὅσα ἐπαινέω τὸν ἰωνικὸν ποιη-
τὴν ἐκ παλαιᾶς ποιεῦντα τὼς ἐναγέ-
ας. ὡς γὰρ τὰ σώματα νοσώδεσι πόκα
ὑγιάζομεν, εἴκα μὴ εἴκῃ τοῖς ὑγιεινο-
τάτοις· οὕτω τὰς ψυχᾶς ἀπείργομεν
ψευδέσι λόγοις εἴκα μὴ ἄγηται ἀλη-
θέσι. λέγοιντο δ' ἀναγκαίως καὶ τιμω-
ρίαι ξέναι, ὡς μετενδυομένων τᾶν ψυ-
χᾶν, τὴν μὲν δειλῶν εἰς γυναικέα σκά-
νεα ποθ' ὕβριν ἐκδιδόμενα· τὴν δὲ
μϊαιφόνων ἐν θηρίων σώματα ποτὶ κό-
λασιν· λάγνων δὲ, ἐν συῶν ἢ κάπρων
μορφάς· κούφων δὲ καὶ μετεώρων ἐν
πτηνῶν ἀεροπόρων· ἀργῶν δὲ καὶ ἄτα-
κτην, ἀμαθῶντε καὶ ἀνοήτην ἐν τὰν τῶν
ἐνύδρων ἰδέαν. ἅπαντα δὴ ταῦτα ἐν δευ-
τέρᾳ περιόδῳ ἁ νέμεσις συνδιέκρινε
σὺν δαίμοσι παλαμναίοις χθονίοις τε,

τοῖς

τοῖς ἐπόπταις τῶν ἀνθρωπίνων, οἷς ὁ πάν-
την ἁγεμὼν ὁ θεὸς ἐπέτρεψε διοίκησιν
κόσμω συμπεπληρωμένω ἐκ θεῶν τε καὶ
ἀνθρώπων, τῶν τε ἄλλων ζώων, ὅσα δε-
δημιούργηται ποτ' εἰκόνα τὰν
ἀρίστην εἴδεος ἀγγνάτω
καὶ αἰωνίω.

ΤΕΛΟΣ.

## *Variæ lectionis indicatio.*

Pagina nona, versu duodecimo, pro, δύο ὧν αἱ δὲ ἀρχαὶ γὰν τὶ: legitur, δύο ὧν ἀρχαὶ γὰν ἀντίαι. v. 16. pro, νόῳ κατ' ἐπιστήμαν: νόῳ καὶ ἐπιστήμῃ. P. 10. v. 7. pro, αὐτὰν: αὐτὰς. P. 12. v. 12. pro, ἐφθάρμοσιν: ἐφάρμοσιν. P. 14. v. 8. pro, δεῖ δ' εἶμεν: ταύτας δὲ δεῖ εἶμεν. P. 15. v. à fine 3. pro, τὰ μὲν οὖν τῶ ὅλω: τὰν μὲν οὖν τῶ ὅλω

ψυχὰν. P. 16. v. 1. pro, τὸν δὲ γενατὸν: τῶν δὲ γενατῶν ἕκαστον. P. 18. v. 9. pro, ἀμερισίῳ, legendum esse, ἐνιαυσίῳ censet Nog. & ratio conuincit. V. 19. pro, ἰδανικὸν: ἰνδανικὸν, uel εἰδανικόν. sed uerior lectio, ἰδανικὸν, τουτέστι, τὸ εὐπρεπῆ, εὐειδῆ. ἰδανὸν γὰρ τὸ εὐπρεπὲς καὶ εὐειδὲς, ut quædam in margine exponit glossa. P. 19. v. 4. pro, ὡς τῇ ὄψει καὶ τᾷ ἀκρωμᾷ τᾶς γᾶς περιγραφόμενα: ὡς τᾷ ὄψει καὶ τᾷ ἀκρωμᾷ τᾶς γᾶς περιγραφόμεθα, ubi sub particula, ὡς, apposita est glossa, οὕστινας ὁρίζοντας. alias, pro περιγραφόμενα, περιγραφομένας. V. 6. pro, οὐδεπόκα: οὐδεπόκα γὰρ. P. 20. v. 1. pro, τρίτον: τρίτων. V. 19. pro, ἀκοινώνευτον: ἀκινώνητον. P. 21. v. 4. pro, ἰσόπλευρον: ἀνισόπλευρον. P. 23. v. 4. pro, κατ' αὐτά τε: καὶ τὰ ταῦτά τε. P. 24. v. 3. pro, ἐνέσταγε: ἐνάγαγε. V. 16. pro, ἅπαντος: ἅπαντες, uel ἅπαντα. P. 35. v. 1. pro, ἀπόχυμα:

μα: οἷον ἀπόχυμα. V. 2. pro, γόνον, legebatur λόγον, quod ferri non potest. V. 7. pro, ἐντοσθίων: ἐντοσθιδίων. P. 27. v. 2. pro, πικρὰ: στρυφνὰ. V. 5. pro, κεχύλωται: κέκληται, al. ἐκχυλῷ. V. 6. pro, κεχώρισται: διώρισται. V. 29. pro, ἄεργος: ἄλογος. P. 28. v. 21. pro, καὶ ἁ νοτὶς ἐπιφαίνεται: καὶ ἁ νοητὸς ὠθϊφέρεται. P. 31. v. 1. pro, ἐξαπτόμενα: ἀρχόμενα. V. 4. pro, ἐπικαιρίως: ἐπικαίως. V. 13. pro, ἀπρόπεια: ἀπρέπεια, al. ἀπόπεια. putat Nog. legendum ἀπεψία. quod horum conueniat, non uideo. P. 32. v. 11. pro, ῥευματιζόμενα μέρεα δαξασμὼς: ῥωματιζόμενα μέρεα ὁδαξασμὼς. P. 33. v. 4. pro, ἀφιστάμενον: οὐκ ἀφιστάμενον. V. 13. pro, ῥυθηγέεσθαι: ῥυθμίζεσθαι. P. 35. v. 1. pro, λογικῷ: λογισμῷ. V. 8. pro, πρεσβύστα: πρεσβύττα. V. 9. pro, ψεύδεα ἐνέθηκαν, ψευδέας δόξας ἀνέθηκαν. V. 12. pro, χαλάσασαι: σχαλλάσασαι. P. 36. v. 9. pro,

ψεύ-

ψεύδεσι λόγοις: ψευδολογίαις. P. 37. v. *ultimo, adijcitur,* καὶ νοατῶ. *Varietatem lectionis, non ut probaremus, sed ut accepißemus, indicandam censuimus: censuram doctis relinquimus.*

Εκτῆν Συίδα.

Τίμαιος λοκρὸς, φιλόσοφος πυθαγόρειος, μαθηματικὰ, περὶ φύσεως, περὶ τοῦ πυθαγορείου βίου, ἔγραψεν.

FINIS.

# TIMÆVS DE ANIma mundi et natura.

Timæus Locrus dixit hæc, duas esse rerũ omnium causas, mentem earum, quæ ratione efficiuntur. Necessitatem vero illarum, quæ vi gignuntur corporum facultatibus. Quarum quidem causarũ illam ex boni natura existere ac Deum appellari, optimarumq; rerum principiũ esse prodidit. At quæ comitantur et causas adiuuant, in necessitatem referri. Vniuersa vero ideam siue speciem, materiam, &

